**ΑΡΧΙΛΟΧΟΣ**

**Απ. 1. West**

εἰμὶ δ᾽ ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος

καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

**Απ. 2. West**

ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ᾽ οἶνος

Ἰσμαρικός· πίνω δ᾽ ἐν δορὶ κεκλιμένος.

**Απ. 5. West**

ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνωι,

ἔντος ἀμώμητον, κάλλιπον οὐκ ἐθέλων·

αὐτὸν δ᾽ ἐξεσάωσα. τί μοι μέλει ἀσπὶς ἐκείνη;

ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω.

**Απ. 16. West**

πάντα Τύχη καὶ Μοῖρα Περίκλεες ἀνδρὶ δίδωσιν.

**Απ. 19. West**

«οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει,

οὐδ᾽ εἷλέ πώ με ζῆλος, οὐδ᾽ ἀγαίομαι

θεῶν ἔργα, μεγάλης δ᾽ οὐκ ἐρέω τυραννίδος·

ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.»

**Απ. απ. 30 + 31. West**

**απ. 30. West.**

ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο

ῥοδῆς τε καλὸν ἄνθος.

**απ. 31. West**

ἡ δέ οἱ κόμη

ὤμους κατεσκίαζε καὶ μετάφρενα.

**Απ. 114. West**

οὐ φιλέω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον
οὐδὲ βοστρύχοισι γαῦρον οὐδ᾽ ὑπεξυρημένον,
ἀλλά μοι σμικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν
ῥοικός, ἀσφαλέως βεβηκὼς ποσσί, καρδίης πλέως.

**Απ. 118. West**

εἰ γὰρ ὣς ἐμοὶ γένοιτο χεῖρα Νεοβούλης θιγεῖν.

**Απ. 120. West**

ὡς Διωνύσου ἄνακτος καλὸν ἐξάρξαι μέλος
οἶδα διθύραμβον οἴνωι συγκεραυνωθεὶς φρένας.

**Απ. 122. West**

χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ᾽ ἀπώμοτον
οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς πατὴρ Ὀλυμπίων
ἐκ μεσαμβρίης ἔθηκε νύκτ᾽, ἀποκρύψας φάος
ἡλίου †λάμποντος, λυγρὸν† δ᾽ ἦλθ᾽ επ᾽ ἀνθρώπους δέος.
ἐκ δὲ τοῦ καὶ πιστὰ πάντα κἀπίελπτα γίνεται
ἀνδράσιν· μηδεὶς ἔθ᾽ ὑμέων εἰσορέων θαυμαζέτω
μηδ᾽ ἐὰν δελφῖσι θῆρες ἀνταμείψωνται νομὸν
ἐνάλιον, καί σφιν θαλάσσης ἠχέεντα κύματα
φίλτερ᾽ ἠπείρου γένηται, τοῖσι δ᾽ ὑλέειν ὄρος.

Απ. 126. West

ἓν δ᾽ ἐπίσταμαι μέγα,
τὸν κακῶς ‹μ᾽› ἔρδοντα δεινοῖς ἀνταμείβεσθαι κακοῖς.

**Απ. 191. West**

τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθεὶς

πολλὴν κατ᾽ ἀχλὺν ὀμμάτων ἔχευεν,

κλέψας ἐκ στηθέων ἁπαλὰς φρένας.

**Απ. 193. West**

δύστηνος ἔγκειμαι πόθωι,

ἄψυχος, χαλεπῇισι θεῶν ὀδύνῃσιν ἕκητι

πεπαρμένος δι᾽ ὀστέων.

**Απ. 196. West**

ἀλλά μ᾽ ὁ λυσιμελὴς ὦταῖρε δάμναται πόθος.

**Απ. 201. West**

πόλλ᾽ οἶδ᾽ ἀλώπηξ, ἀλλ᾽ ἐχῖνος ἓν μέγα.